ἐπὶ χεῖρα αὐτῶν κατέσχεν ἀπὸ Ραμωθ υἱὸς Ουρια υἱοῦ Ακως. καὶ
ἐπὶ χεῖρα αὐτῶν κατέσχεν Μοσολλαμ υἱὸς Βαραχιου υἱοῦ Μασεζε-
5 βηλ. καὶ ἐπὶ χεῖρα αὐτῶν κατέσχεν Σαδωκ υἱὸς Βαανα. [5]καὶ ἐπὶ
χεῖρα αὐτῶν κατέσχοσαν οἱ Θεκωιν, καὶ αδωρηεμ οὐκ εἰσήνεγκαν
6 τράχηλον αὐτῶν εἰς δουλείαν αὐτῶν. [6]καὶ τὴν πύλην τοῦ Ισανα
ἐκράτησαν Ιοϊδα υἱὸς Φασεκ καὶ Μεσουλαμ υἱὸς Βασωδια· αὐτοὶ
ἐστέγασαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐτῆς καὶ
8 μοχλοὺς αὐτῆς. [8]καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησεν Ανανιας υἱὸς τοῦ
Ρωκεϊμ, καὶ κατέλιπον Ιερουσαλημ ἕως τοῦ τείχους τοῦ πλατέος.
9 [9]καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησεν Ραφαια ἄρχων ἡμίσους περιχώ-
10 ρου Ιερουσαλημ. [10]καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησεν Ιεδαια υἱὸς
Ερωμαφ καὶ κατέναντι οἰκίας αὐτοῦ. καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτη-
11 σεν Ατους υἱὸς Ασβανια. [11]καὶ δεύτερος ἐκράτησεν Μελχιας υἱὸς
Ηραμ καὶ Ασουβ υἱὸς Φααθμωαβ καὶ ἕως πύργου τῶν θαννουριμ.
12 [12]καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν Σαλουμ υἱὸς Αλλωης ἄρχων ἡμί-
13 σους περιχώρου Ιερουσαλημ, αὐτὸς καὶ αἱ θυγατέρες αὐτοῦ. [13]τὴν
πύλην τῆς φάραγγος ἐκράτησαν Ανουν καὶ οἱ κατοικοῦντες Ζανω·
αὐτοὶ ᾠκοδόμησαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖθρα
αὐτῆς καὶ μοχλοὺς αὐτῆς καὶ χιλίους πήχεις ἐν τῷ τείχει ἕως
14 πύλης τῆς κοπρίας. [14]καὶ τὴν πύλην τῆς κοπρίας ἐκράτησεν Μελ-
χια υἱὸς Ρηχαβ ἄρχων περιχώρου Βηθαχαρμ, αὐτὸς καὶ οἱ υἱοὶ
αὐτοῦ, καὶ ἐσκέπασαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς καὶ κλεῖ-
15 θρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς. [15]καὶ τὸ τεῖχος κολυμβήθρας τῶν

4 χειρα 1$^0$] -ρας A, θυρας S*† | απο] επι B | υιος 1$^0$ *L*†] υιου rel. | ακως B S†] ακκως rel.: cf. 21 17 63 | και επι χ. 2$^0$⌒3$^0$ BV†, 3$^0$⌒5 και επι χ. A† | μασεζεβηλ compl.] -ηα S†, ι pro β A† | σαδουκ S || 5 θεκω(ε)ιν B†] -(ε)ιμ rel. | αδωρηεμ BS†] -ρην A†, -ρημ mu., οι ισχυροι αυτων *L*† || 6 του > B | ισανα BV†] αισ. SA | ιο(ε)ιδα A†] ιοειαα B†, υιοι εδα S† | βασωδια] βαδια B†, αβδεια S† | και (+ τα S$^c$*L*†) κλειθρα αυτης — 8 και επι χειρα αυτων] και επει|ρα αυτης (sic) A† | fin. BSAV†] + (7) και επι χειρα αυτων εκρατησε μαλτιας ο γαβαωνιτης και ευαρων(*L*† ιαριν uel sim.) ο μηρωνωθιτης ανδρες της γαβαων και της μασφα εως θρονου του αρχοντος του περαν του ποταμου (8) και παρ αυτον παρησφαλισατο οζιηλ υιος αραχιου πυρωτων rel. (non S$^c$): uerbum παρασφαλιζεσθαι non nisi hic in LXX, cf. 15 || 8 εκρατησαν B† | υιος] pr. ο S† | ρωκε(ε)ιμ] ιωακειμ BS†, των μυρεψων *L*† | του paenult. > B | πλατεως BS†: cf. Thack. p. 179 || 10 ιεδαια] ιεδδεια S*L*† | ερωμαφ] -αθ BS (S† ι pro ρ) | και 2$^0$ > S | ατους unus cod.] ατουθ BS†, αυτους AV*L*†: cf. 8 2 | ασβανια] -ναμ B*† (B$^c$† -νεαμ), ασβενεαμ S† || 11 ηραμ] ηρμα A† | φααβμωαβ BS† | θαννουρ(ε)ιμ] ναθου. BS† || 12 σαλλουμ A: cf. 2 42 | αλλωης] ηλεια BS† || 13 θυρας: cf. 3 | πυλης] pr. της A || 14 βηθαχαρμ Ra.] -αχαμ B†, -ακαμ S†, -αχχαρμα A† || 15 init. BSAV†] pr. την δε πυλην της πηγης ησφαλισατο σαλωμων υιος χολεζε αρχων μερους της μασφα· αυτος εξωκοδομησεν αυτην και εστεγασεν αυτην και εστησε τας θυρας αυτης (+ και κλειθρα αυτης uel sim. *L*†) και μοχλους αυτης rel. (non S$^c$): cf. additamentum ad 6 fin.